καταγίνομαι εἰς τόδε, ἔρχομαι πρός σε· πορεύομαι πρὸς τὸν Ἰωάννην.
περοινῶ εἰς τοὺς συμπότας, crebro frequentia propter compotores. καὶ ἄλλα πολλά. ἀλλὰ περὶ μὲν τῶν προσωπικῶν, ταῦτα· νῦν δὲ λεκτέον ὀλίγα περὶ τῶν ἀπροσώπων.

## Περὶ ἀπροσώπων ῥημάτων.

Ἀπρόσωπον ῥῆμά ἐστι τὸ σημαῖνον τὴν τριπροσωπίαν, καὶ μιᾷ καταλήξει ταύτην ἀποπληροῦν· οἷον δεῖ με ἀναγινώσκειν. δεῖ σε ἀκούειν· δεῖ ἐκεῖνον σπουδάζειν.
Ἀπαιτοῦσι δὲ τὰ ἀπρόσωπα διαφόρους πτώσεις μεθ' αὑτά, καὶ δύο αἰτιατικὰς πολλάκις μετὰ ἀπαρεμφάτου· μίαν μὲν ἐκ τῆς τοῦ ῥήματος φύσεως, ἑτέραν δὲ ἐκ τῆς τοῦ ἀπαρεμφάτου· οἷον, δεῖ τὸν καθηγητὴν ἐπιμελῶς διδάσκειν τοὺς ἑαυτοῦ μαθητάς· καὶ δεῖ τοὺς μαθητὰς φιλεῖν, καὶ τιμᾶν τὸν διδάσκαλον.
Χρή με φιλεῖν σε, καὶ χρή σε ἀντιφιλεῖν ἐμέ· καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως, ὅτι μάλιστα τὸ ῥῆμα ἐστὶ τοῦ α' εἴδους τῶν ἐνεργητικῶν τὸ ἐπὶ αἰτιατικὴν φερόμενον· ὅτε δέ ἐστι τοῦ δευτέρου εἴδους τῶν ἐνεργητικῶν καὶ τρεῖς αἰτιατικὰς δέχεται, μίαν μὲν ἐνεργοῦσαν τὴν ἀντὶ τῆς ὀνομαστικῆς οὖσαν πρὸ τοῦ ἀπαρεμφάτου, ἑτέραν δὲ ἔμψυχον πάσχουσαν, καὶ ἄλλην ἄψυχον· οἷον δεῖ τὸν καθηγητὴν διδάσκειν τοὺς ἑαυτοῦ μαθητὰς γραμματικά, ποιητικά, καὶ ῥητορικὰ μαθήματα. ἐν δὲ τοῖς ἄλλοις ῥήμασι τῶν λοιπῶν εἰδῶν, τὰς αὐτὰς σχεδὸν ἀπαιτοῦσι πτώσεις μεθ' ἑαυτὰ τὰ ἀπρόσωπα τὰς τῶν προσωπικῶν



ζήτει